www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ ΣΙΛΑΝ, ΣΥΝΕΚΔΗΜΟΝ ΤΟΥ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΠΑΥΛΟΥ

(Οὗ ἡ μνήμη τῇ 30ῇ Ἰουλίου)



Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

*ϙβς' * 2006 *

www.tezaurliturgic.ro




## ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
## ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΕΝΔΟΞΟΝ ΑΠΟΣΤΟΛΟΝ ΣΙΛΑΝ

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.

Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

*Θεὸς Κύριος καὶ τὰ Τροπάρια*

*Ἦχος δ΄ Ὁ Ὑψωθεὶς.*

Ὁμοφρονήσας τῷ θεόφρονι Παύλῳ,
Χριστῷ συνδέδεσαι, μακάριε Σίλα,
Οὗ κήρυξ ἐν τοῖς ἔθνεσιν ἐδείχθης ἱερός,
διωγμοῖς καὶ θλίψεσι
καὶ δεσμοῖς ἀριστεύσας,
Κορινθίων γέγονας,
ἱεράρχης θεόφρων,
καθικετεύων πάντοτε Χριστόν,
ὑπὲρ τῶν πίστει,
εὐχὰς δεομένων σου.

*Δόξα. Καὶ νῦν Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι,
εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνωνκ
τίς δὲ διεφύλαξεν,
ἕως νῦν ἐλευθέρουςκ
οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ,
σοὺς γὰρ δούλους σῴζεις ἀεί,
ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

www.tezaurliturgic.ro


Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

**Εἶτα ὁ κανὼν, οὗ ἡ ἀκροστιχίς:**

*«Εὐχαῖς, ὦ Σίλα, φύλαττε φιλαποστόλους. Ἀ(θανάσιος)».*

*ᾨδὴ α΄. Ἦχος πλ.δ΄. Ὑγρὰν διοδεύσας.*

Εὐχαῖς σου, ὦ Σίλα, ταῖς ἱεραῖς,
φυλάττοις τοὺς πόθῳ,
σὲ τιμῶντας ἀπὸ ψυχῆς,
καὶ θείαν πρεσβείαν ἐκζητοῦντας,
πρὸς τὸν Σωτῆρα Ὅν βίῳ ἐδόξασας.

Ὑπάρχων δοχεῖον χωρητικόν,
τῆς χάριτος, Σίλα,
ἠκολούθησας τῷ Χριστῷ,
μηδόλως γηΐνων προσπαθήσας,
ὧν καὶ ἡμᾶς ἀμετόχους ἀνάδειξον.

Χαρᾶς πεπλησμένος τῆς θεϊκῆς,
ὦ Σίλα, τῷ Παύλῳ,
ἠκολούθησας ταπεινῶς,
καὶ τούτου ἐκμίμημα ἐδείχθης·
ὅθεν ἡμᾶς μιμητάς σου ἀνάδειξον.

*Θεοτοκίον*

Ἁγνείαν φυλάξασα ἀκριβῆ,
ἁγνείας Παρθένε,
δεῖξον οἴκους τοὺς ἐκ ψυχῆς,
τιμῶντας ἐν ὕμνοις σου ἁγνείαν,
δι ἧς Τριάδος τὴν χάριν ἐφείλκυσας.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Ἱκανὸς ἐλογίσθης,
ἀποσταλεὶς ἅγιε,
σὺν τῷ θείῳ Παύλῳ καὶ ἄλλοις,
εἰς Ἀντιόχειαν,
πρὸς ὑποστήριξιν,
Χριστιανῶν νεοφύτων·
ὅθεν, Σίλα, στήριξον,
ἡμᾶς ἐν θλίψεσι.

Σάλον κόπασον, Σίλα,
τοῦ δολεροῦ δράκοντος,
καὶ τὴν χριστοδώρητον δίδου,
εἰρήνην ἅπασιν,
ἵνα δοξάζωμεν,
τὴν ἐκ Θεοῦ σοι δοθεῖσαν,
χάριν οἱ τιμῶντές σου,
μνήμην τὴν πάντιμον.

Ὡς ἐχάρησαν πάλαι,
Ἀντιοχεῖς, Ἅγιε,
ἐπὶ τῇ ὑμῶν παρουσίᾳ,
οὕτως ἀξίωσον,
τοὺς σοὶ προσπίπτοντας,
χαίρειν χαρὰν τοῦ Κυρίου,
καὶ τὴν παρουσίαν σου,
ἀεὶ αἰσθάνεσθαι.

*Θεοτοκίον*

Σῷζε τέκνα σου, Μῆτερ,
τὰ ἐπὶ σοὶ τρέχοντα,
καὶ τὴν τῶν πτερύγων σου σκέπην,
πόθῳ αἰτούμενα,
ὅπως τοῦ δαίμονος,
πάσης παγίδος ῥυσθῶμεν,
καὶ κληρονομήσωμεν,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

γλυκὺν Παράδεισον.

Διάσωσον,
τοὺς σοὺς ἱκέτας, ἀπόστολε θεῖε Σίλα,
ἀπὸ πάσης ἀνάγκης ψυχῆς τε καὶ σώματος,
καὶ πρέσβευε διὰ παντός,
ὑπὲρ ἡμῶν τῷ Δεσπότῃ.

Ἐπίβλεψον,
ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε,
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν,
καὶ ἴασαι,
τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ἀγάπην τὴν σήν,
ἣν ἔσχες πρὸς τὸν Κύριον,
μετάδος ἡμῖν,
ὦ Σίλα χριστοκάρδιε,
καὶ παγίδων λύτρωσαι
ἃς ὁ δόλιος ἡμῖν ἵστησι,
διαφυλάττων τὰς ψυχάς,
ὁμοῦ καὶ σώματα τῶν τιμώντων σε.

*Ὠιδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Ἱερὰ σάλπιγξ γέγονας,
Σίλα, τοῦ Κυρίου τὰ δικαιώματα,
ἐκδιδάξας ἐν τοῖς πέρασι,
διὸ καὶ ἡμῖν ταῦτα ἐκδίδαξον.

Λαμπροτάτην τὴν εἴσοδον,
εἰς τὴν Βασιλείαν Κυρίου ποίησον,
Σίλα, πᾶσι τοῖς προστρέχουσι,
καὶ θερμῶς αἰτοῦσι τὰς πρεσβείας σου.



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Αὐγαζόμενος χάριτι,
Σίλα, τοῦ ἡλίου τῆς δόξης αὔγασον,
τοὺς κειμένους ἐν τοῖς πταίσμασι,
καὶ τὸ φῶς Κυρίου ἀναμένοντας.

*Θεοτοκίον*

Φεῖσαι, Μῆτερ, τῶν τέκνων σου,
τῶν παραβαινόντων Χριστοῦ θελήματα,
καὶ κρημνοῦ ταῦτα ἐξάρπασον,
λυτρουμένη θείαις ἱκεσίαις σου.

*Ὠιδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὕπνου ψυχικοῦ,
ἡμᾶς, Σίλα, διανάστησον,
πρὸς ἐργασίαν ἐντολῶν Χριστοῦ,
δι᾽ ὧν θεοῦται,
κατὰ χάριν τὸ ἀνθρώπινον.

Λύτρωσαι σειρᾶς,
ἁμαρτίας, Σίλα, ἔνδοξε,
ὡς σὺ ἐῤῥύσθης ἐν Φιλίππῳ θαυμαστῶς,
μετὰ τοῦ Παύλου,
ἐξ ἀδίκου φυλακίσεως.

Αἴτησαι ἡμῖν,
ἐκ Κυρίου, Σίλα πάντιμε,
τὴν προστασίαν ἐκ δαιμόνων φοβερῶν,
οὕς περ δυνάμει,
τοῦ Σταυροῦ πάλαι κατήργησας.

*Θεοτοκίον*

Τρῶσον τὰς ψυχάς,
τῇ ἀγάπῃ θείου Τόκου σου,

Παρθενομῆτορ, καὶ ἀξίωσον ἡμᾶς,
ὀπίσω Τούτου,
ἐν παντὶ τῷ βίῳ ἕπεσθαι.

*Ὠιδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.*

Τὰ πάθη μου,
τὴν ψυχὴν συνθλίβοντα,
ὡς ὀγκόλιθος, ὦ Σίλα τρισμάκαρ,
θραῦσον εὐθύς,
ὡς τὰ εἴδωλα πάλαι,
τὸ κατ' εἰκόνα καθαίρων πρεσβείαις σου,
καὶ ἐνισχύων με ἀεί,
εἰς ἀπόκτησιν τοῦ καθ' ὁμοίωσιν.

Ἐνίσχυσον,
τὰς ψυχὰς τῶν δούλων σου,
κλονουμένας πειρασμοῖς, μάκαρ Σίλα,
καὶ ἀβλαβεῖς,
ἐξ ἐχθροῦ ἐπηρείας,
σαῖς ἱκεσίαις ἡμᾶς διατήρησον,
συντρίβων ἀποστολικῶς,
τὰς παγίδας αὐτοῦ καὶ τὰ σκάνδαλα.

Φροντίδων με,
ἀγχωδῶν ἀπάλλαξον,
καὶ μερίμνης ψυχοφθόρου, ὦ Σίλα,
καταξιῶν,
ἀνατίθεσθαι πάντα,
πεπερασμένον μου βίον τῷ Κτίσαντι,
τῷ ἔχοντι τὴν πατρικὴν,
οἰκουμένης φροντίδα καὶ πρόνοιαν.

*Θεοτοκίον*

Ἰάτρευσον,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

τῶν σωμάτων, Δέσποινα,
καὶ ψυχῶν τὰς ἀσθενείας καὶ νόσους,
τὸν Ἰατρόν,
Ἰησοῦν σαῖς πρεσβείαις,
ἐξιλεοῦσα ὑπὲρ τῶν τιμώντων σε,
καὶ ὕμνον τὸν ἀγγελικὸν,
ἐκβοώντων σοι· χαῖρεΠανάμωμε.

Διάσωσον,
τοὺς σοὺς ἱκέτας, ἀπόστολε θεῖε Σίλα,
ἀπὸ πάσης ἀνάγκης ψυχῆς τε καὶ σώματος,
καὶ πρέσβευε διὰ παντός,
ὑπὲρ ἡμῶν τῷ Δεσπότῃ.

Ἄχραντε,
ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως,
ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα,
μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.*

Πυρωθεὶς τῷ πυρὶ θείου Πνεύματος,
ὥσπερ γίγας τὸν κόσμον διέδραμες,
μάκαρ Σίλα,
πλάνης λαοὺς πολλοὺς ἐξαγαγών,
διὸ ῥῦσαι καὶ ἡμᾶς,
προσπίπτοντάς σοι ἐκ ψυχῆς,
ἐκ παγίδων ἀλάστορος.
Δίδου Χριστοῦ ἀγάπην,
φλέξον παθῶν ἀκάνθας,
καὶ Βασιλείαν οὐρανῶν,
ταῖς εὐχαῖς σου πᾶσι χάρισαι.

Προκείμενον. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ρήματα αὐτοῦ.

*Στίχος. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.*

**ΕΥΑΓΓΕΛΙΟΝ**

*Ἐκ τοῦ κατὰ Ματθαῖον (9,14-10,)*

Εἶπεν ὁ Κύριος τοῖς μαθηταῖς αὐτοῦ· Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλίγοι. Δεήθητε οὖν τοῦ κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ. Τούτους τοὺς δώδεκα ἀπέστειλεν ὁ Ἰησοῦς παραγγείλας αὐτοῖς λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ κηρύσσετε λέγοντες, ὅτι· Ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν. Ἀσθενοῦντας θεραπεύετε, νεκροὺς ἐγείρετε, λεπροὺς καθαρίζετε, δαιμόνια ἐκβάλλετε. Δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

*Δόξα Πατρί.*

Ταῖς τοῦἈποστόλου,
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων

*Καὶ νῦν.*

Ταῖς τῆς Θεοτόκου.
πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη,
τῶν ἐμῶν ἐγκλημάτων

*Εἶτα ψάλλομεν τὸ προσόμοιον.*

*Στίχ. Ἐλέησόν με ὁ Θεός…*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Σίλα θεοδόξαστε,
Ἁγίου Πνεύματος θρόνε,
πᾶσαν γῆν ἐφώτισας,
σωτηρίοις λόγοις σου καὶ συνήρμοσας,
τῷ Χριστῷ ἄριστα,
τοὺς ἐν σκότει ὄντας,
καὶ υἱοὺς φωτὸς καὶ χάριτος,
τούτους ἀνέδειξας,
ὅθεν καὶ ἡμᾶς νῦν ἀξίωσον,
ἐν τῷ φωτὶ πορεύεσθαι,
τοῦ Εὐαγγελίου καὶ ἄξια,
κλήσεως Κυρίου,
ἐργάζεσθαι τὰ ἔργα καὶ παντός,
κινδύνου ῥῦσαι τοὺς ὅσοι σου,
δέονται ἐκ πίστεως.

*Ὠιδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Λιμὸν λόγου Κυρίου,
ἀποδίωκε, Σίλα, ἐκ τῶν τιμώντων σε,
πλουσίως διατρέφων,
ἡμᾶς σεπταῖς εὐχαῖς σου,
ὅπως Λόγῳ ἑνούμενοι,
ἐν οὐρανίᾳ Σιών,
ζήσωμεν εἰς αἰῶνας.

Ἀποστόλων με ζήλῳ,
καταπλούτισον, Σίλα θεομακάριστε,
καὶ τῆς Χριστοῦ ἀγάπης,
δι᾽ ὧν σὺ πεπλησμένος,
οἰκουμένην διέδραμες,
καὶ ὥσπερ σάλπιγξ λαμπρῶς,
ἤχησας σωτηρίαν.

Πεδηθεὶς ἑκουσίως,
ἁμαρτίαις ποικίλαις, Σίλα μακάριε,

βοῶ σοι· θραῦσον πέδας,
καθάπερ ἐν Φιλίπποις,
σοῦ τὰς πέδας κατέθραυσεν,
ἐν φυλακῇ ὁ Χριστός,
ὄντος μετὰ τοῦ Παύλου.

*Θεοτοκίον*

Ὁρμαθὸν τῶν παθῶν μου,
Θεοτόκε Παρθένε, ταχὺ ἀφάνισον,
ἡ ἀπαθῶς τὸν Λόγον,
κυήσασα ἐν χρόνῳ,
καὶ τοῖς πάθεσι σώσαντα,
ἅπαν τὸ γένος ἡμῶν,
ἀπὸ παθῶν ἀτίμων.

*Ὠιδὴ η΄. Τὸν βασιλέα.*

Σίλα, ὡς δῶρον,
τὴν προσευχήν μοι παράσχου,
καὶ ὑπνοῦντι καὶ ἐξεγειρομένῳ,
ὅπως ἰσαγγέλως,
τὸν Κύριον δοξάζω.

Τρῶσον ψυχήν μου,
Σίλα, τῷ πόθῳ Κυρίου,
ἐκδιώκων ἀγάπην τὴν τοῦ κόσμου,
ἵνα διανύσω,
ὁδὸν Εὐαγγελίου.

Ὅλον τὸν νοῦν μου,
καθυπόταξον, Σίλα,
τοῦ Δεσπότου θελήματι τῷ θείῳ,
λογισμοὺς ἀκαίρους,
καθαίρων καὶ ἐννοίας,



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



*Θεοτοκίον*

Λάμπρυνον, Μῆτερ,
ἠσβολωμένην ψυχήν μου,
ἡ τεκοῦσα τὸ Φῶς παντὸς τοῦ κόσμου,
καὶ ἀξίωσόν με,
φωτὸς τοῦ Παραδείσου.

*Ὠιδὴ θ΄. Κυρίως Θεοτόκον.*

Ὁ Πνεύματι ἁγίῳ,
πάθη θεραπεύων,
ψυχῆς καὶ σώματος, Σίλα μακάριε,
τοὺς αἰτουμένους σε πόθῳ,
ταχὺ θεράπευσον.

Ὑπὲρ τῆς Ἐκκλησίας,
Σίλα, ἐκδυσώπει,
τὸν Ἰησοῦν ὑπὲρ Οὗ ἄθλους ἤνεγκας,
ἵνα Αὐτὴν ἐν εἰρήνῃ,
φυλάττῃ πάντοτε.

Σίλα, ἀξίωσόν με,
θείου Παραδείσου,
τὸν προσκυνοῦντα ἁγίαν εἰκόνα σου,
καὶ σὲ προβάλλοντα πρέσβυν,
πρὸς τὸν Φιλάνθρωπον.
*Θεοτοκίον*

Ἀνάνηψον ψυχή μου,
ἐκ βαθέος ὕπνου,
τῆς ἀμελείας καὶ δεῖξον μετάνοιαν,
τὴν Θεοτόκον καὶ Σίλαν,
μεσίτας ἔχουσα.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,

μακαρίζειν σε τὴν Θεοτόκον,
τὴν ἀειμακάριστον καὶ παναμώμητον,
καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν·
τὴν τιμιωτέραν τῶν Χερουβείμ,
καὶ ἐνδοξωτέραν,
ἀσυγκρίτως τῶν Σεραφείμ,
τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν,
τὴν ὄντως Θεοτόκον,
σὲ μεγαλύνομεν.

*καὶ τὰ Μεγαλυνάρια*

Χαίροις, Σίλα, σάλπιγξ τοῦ Ἰησοῦ,
ἡ ἐκ σκότους πλάνης,
ἀναστήσασα τοὺς λαούς,
καὶ υἱοὺς ἡμέρας,
αὐτοὺς ἐναποδείξας,
θείῳ κηρύγματί σου,
καὶ βίῳ λάμποντι.

Γέγονας συνέκδημος ἱερός,
Σίλα, θείου Παύλου,
μεθ’ οὗ ἔδραμες ὡς φωστήρ,
πᾶσαν οἰκουμένην,
συνάπτων τῷ Κυρίῳ,
καὶ νῦν τοὺς σὲ τιμῶντας,
σκέπεις πρεσβείαις σου.

Τοὺς προσερχομένους τῷ σῷ ναῷ,
Σίλα χριστοφόρε,
δεῖξον οἴκους τοῦ Ἰησοῦ,
πάθη θεραπεύων,
ψυχῶν τε καὶ σωμάτων,
Πνεύματι τῷ Ἁγίῳ,
Οὗ πλήρης γέγονας.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Σκέπε ταῖς ἁγίαις σου προσευχαῖς,
Ἐκκλησίας, Σίλα,
ἐν αἷς ἔδρασας θαυμαστῶς,
τὴν Ἀντιοχείας, Φιλίππων τε Βεῤῥοίας,
κλεινῆς Θεσσαλονίκης,
Κορίνθου πόλεως.
Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ Ἅγιοι Πάντες,
μετὰ τῆς Θεοτόκου,
ποιήσατε πρεσβείαν,
εἰς τὸ σωθῆναι ἡμᾶς.

*Εἶτα τὸ Τρισάγιον κλπ.τῆς Παρακλήσεως ὡς εἴθισται*

*Ἀπολυτίκιον. Ἦχος δ' (παλαιόν).*

Ὡραῖοι οἱ πόδες σου
Σίλα ἀπόστολε,
τὴν γῆν καθηγίασαν,
τῆς Νεαπόλεως καὶ τῶν Φιλίππων,
τὴν κλεινὴν χώραν, πανεύφημε·
φωτὸς τοῦ θείου μύστης,
πρὸς ἡμᾶς χρηματίσας,
ἔλυσας τῶν εἰδώλων,
τὴν σκοτόμαιναν, μάκαρ.
Διὸ ἐν παῤῥησίᾳ Χριστῷ,
πρέσβευε σωθῆναι ἡμᾶς.

*Ἕτερον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.*

Συνοδίτης τοῦ Παύλου γεγονὼς καὶ συνέκδημος,
τὴν Νεάπολιν, μάκαρ, καὶ Φιλίππους ἐφώτισας,
τῆς θείας ἐπιγνώσεως φωτί,
ἀπόστολε Σίλα ἱερέ·

ἀλλὰ φύλαττε καὶ σκέπε τὴν σὴν Μονήν,
πιστῶς ἀνακειμένην σοι.
Δόξα τῷ δεδωκότι σοι ἰσχύν,
δόξα τῷ σὲ μεγαλύναντι,
δόξα τῷ ἐκπληροῦντι διὰ σοῦ,
ἡμῶν τὰ αἰτήματα.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν τὸ παρὸν προσόμοιον.*

*Ἦχος β᾽ Ὅτε ἐκ τοῦ ξύλου σε.*

Σίλα, Θεοῦ Λόγου μαθητά,
κήρυξ τῆς Χριστοῦ Βασιλείας,
Παύλου ὁμόψυχε,
τοὺς πιστῶς προστρέχοντας,
τῷ ἱερῷ σου ναῷ,
νοσημάτων ἀπάλλαξον,
καὶ Πνεύματος δεῖξον,
θεῖα οἰκητήρια,
κεκαθαρμένους παθῶν·
ὅπως ἐν ἐσχάτῃ ἡμέρᾳ,
τύχωμεν ἐλέους Κυρίου,
καὶ Αὐτοῦ κατίδωμεν τὸ πρόσωπον.

*Δέσποινα πρόσδεξαι.*
*Τὴν πᾶσαν ἐλπίδα μου.*
*Δι᾽ εὐχῶν.*

*Στίχοι*
*Σίλα, δέχθητι ὕμνους τοὺς ἱκεσίους,*
*καὶ ἀντιδώρως δίδου ἡμῖν εὐχάς σου.*